June 9 - **Mark 14:43-52**
**Jesus Betrayed and Arrested**




| | |
|---|---|
| 43 Καὶ εὐθὺς ἔτι αὐτοῦ λαλοῦντος παραγίνεται [ὁ] Ἰούδας εἷς τῶν δώδεκα καὶ μετ᾽ αὐτοῦ ὄχλος μετὰ μαχαιρῶν καὶ ξύλων παρὰ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων καὶ τῶν πρεσβυτέρων. | 43 Immediately, while he was still speaking, Judas, one of the twelve, came—and with him a multitude with swords and clubs, from the chief priests, the scribes, and the elders. |

| | |
|---|---|
| 44 δεδώκει δὲ ὁ παραδιδοὺς αὐτὸν σύσσημον αὐτοῖς λέγων Ὃν ἂν φιλήσω αὐτός ἐστιν· κρατήσατε αὐτὸν καὶ ἀπάγετε ἀσφαλῶς.<br>45 καὶ ἐλθὼν εὐθὺς προσελθὼν αὐτῷ λέγει Ῥαββεί, καὶ κατεφίλησεν αὐτόν.<br>46 οἱ δὲ ἐπέβαλον τὰς χεῖρας αὐτῷ καὶ ἐκράτησαν αὐτόν. | 44 Now he who betrayed him had given them a sign, saying, “Whoever I will kiss, that is he. Seize him, and lead him away safely.”<br>45 When he had come, immediately he came to him, and said, “Rabbi! Rabbi!” and kissed him.<br>46 They laid their hands on him, and seized him. |

| | |
|---|---|
| 47 εἷς δέ [τις] τῶν παρεστηκότων σπασάμενος τὴν μάχαιραν ἔπαισεν τὸν δοῦλον τοῦ ἀρχιερέως καὶ ἀφεῖλεν αὐτοῦ τὸ ὠτάριον. | 47 But a certain one of those who stood by drew his sword, and struck the servant of the high priest, and cut off his ear. |

| | |
|---|---|
| 48 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς Ὡς ἐπὶ λῃστὴν ἐξήλθατε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με;<br>49 καθ᾽ ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ διδάσκων καὶ οὐκ ἐκρατήσατέ με· ἀλλ᾽ ἵνα πληρωθῶσιν αἱ γραφαί. | 48 Jesus answered them, “Have you come out, as against a robber, with swords and clubs to seize me?<br>49 I was daily with you in the temple teaching, and you didn’t arrest me. But this is so that the Scriptures might be fulfilled.” |

| | |
|---|---|
| 50 καὶ ἀφέντες αὐτὸν ἔφυγον πάντες.<br>51 Καὶ νεανίσκος τις συνηκολούθει αὐτῷ περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ, καὶ κρατοῦσιν αὐτόν,<br>52 ὁ δὲ καταλιπὼν τὴν σινδόνα γυμνὸς ἔφυγεν. | 50 They all left him, and fled.<br>51 A certain young man followed him, having a linen cloth thrown around himself, over his naked body. The young men grabbed him,<br>52 but he left the linen cloth, and fled from them naked. |




Graphics: Copyright Stéphane Tibi and his licensors. All rights reserved. www.studymaps.org
English text: World English Bible (public domain)
Greek text: Westcott-Hort Greek New Testament (public domain)